GREK 2051 (Spring 2011)

## BIBLICAL READINGS

supplement to Shelmerdine 2nd edition

## Chapter 27

Jesus names his apostles.

9 καὶ εἶπεν τοῖς μαθηταῖς αὐτοῦ ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ τὸν ὄχλον
ἵνα μὴ θλίβωσιν αὐτόν· 10 πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ ἵνα
αὐτοῦ ἅψωνται ὅσοι εἶχον μάστιγας. 11 καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅταν αὐτὸν
ἐθεώρουν, προσέπιπτον αὐτῷ καὶ ἔκραζον λέγοντες ὅτι Σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ. 12 καὶ
πολλὰ ἐπετίμα αὐτοῖς ἵνα μὴ αὐτὸν φανερὸν ποιήσωσιν. 13 καὶ ἀναβαίνει εἰς τὸ
ὄρος καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός, καὶ ἀπῆλθον πρὸς αὐτόν. 14 καὶ ἐποίησεν
δώδεκα, [οὓς καὶ ἀποστόλους ὠνόμασεν,] ἵνα ὦσιν μετ' αὐτοῦ καὶ ἵνα ἀποστέλλῃ
αὐτοὺς κηρύσσειν 15 καὶ ἔχειν ἐξουσίαν ἐκβάλλειν τὰ δαιμόνια· 16 [καὶ ἐποίησεν
τοὺς δώδεκα,] καὶ ἐπέθηκεν ὄνομα τῷ Σίμωνι Πέτρον, 17 καὶ Ἰάκωβον τὸν τοῦ
Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου, καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα
Βοανηργές, ὅ ἐστιν Υἱοὶ Βροντῆς· 18 καὶ Ἀνδρέαν καὶ Φίλιππον καὶ Βαρθολομαῖον
καὶ Μαθθαῖον καὶ Θωμᾶν καὶ Ἰάκωβον τὸν τοῦ Ἁλφαίου καὶ Θαδδαῖον καὶ Σίμωνα
τὸν Καναναῖον 19 καὶ Ἰούδαν Ἰσκαριώθ, ὃς καὶ παρέδωκεν αὐτόν.

(Κατὰ Μάρκον 3.9-19)

ἀκάθαρτος –ον unclean
ἀναβαίνω walk to
ἀποστέλλω –στελῶ -έστειλα send off
ἅπτω + *gen.* touch
βροντή -ῆς ἡ thunder
δαιμόνιον –ου τό demon
ἐκβάλλω throw out
ἐξουσία –ας ἡ authority
ἐπιπίπτω fall on
ἐπιτίθημι –θήσω -έθηκα add on
ἐπτιμάω order
θεωρέω notice, see
θλίβω crush
κηρύσσω proclaim, preach
κράζω cry out
μαθητής –οῦ ὁ student, disciple
μάστιξ –ιγος ἡ whip, disease
ὀνομάζω name
ὄρος –ους τό mountain
ὅσος –η –ον all who
ὅταν whenever
ὄχλος –ου ὁ crowd
παραδίδωμι –δώσω -έδωκα hand over, betray
πλοιάριον –ου τό boat
πνεῦμα –ατος τό breath, spirit, life
προσκαλέω call for, invite
προσκαρτερέω stand by, be ready
προσπίπτω fall before
υἱός, υἱού ὁ son
φανερός –α –ον clear, revealed
ὥστε + *inf.* with the result that (they)